πρὸς τοῖσδέ τ', εἴ τι τοισίδ' ἐγκαλεῖ ξένοις,
δίκης κυρήσει. τούσδε δ' οὐκ ἄξεις ποτέ.
ΚΟ. Οὐκ ἦν δίκαιον ἥ τε, καὶ νικῶ λόγῳ;
ΔΗ. Καὶ πῶς δίκαιον τὸν ἱκέτην ἄγειν βίᾳ;
ΚΟ. Οὐκ οὖν ἐμοὶ τόδ' αἰσχρὸν, ἀλλὰ σοὶ βλάβος;
ΔΗ. Ἔμοιγ', ἐάν σοι τούσδ' ἐφέλκεσθαι μεθῶ.
ΚΟ. Σὺ δ' ἐξόριζε, κἄτ' ἐκεῖθεν ἄξομεν.
ΔΗ. Σκαιὸς πέφυκας, τοῦ θεοῦ πλείω φρονῶν.
ΚΟ. Δεῦρ', ὡς ἔοικε, τοῖς κακοῖσι φευκτέον.
ΔΗ. Ἅπασι κοινὸν ῥῦμα δαιμόνων ἕδρα.
ΚΟ. Ταῦτ' οὐ δοκήσει τοῖς Μυκηναίοις ἴσως.
ΔΗ. Οὐκ οὖν ἐγὼ τῶν ἐνθάδ' εἰμὶ κύριος;
ΚΟ. Βλάπτων γ' ἐκείνους μηδέν, ἢν σὺ σωφρονῇς.
ΔΗ. Βλάπτεσθ', ἐμοῦ γε μὴ μιαίνοντος θεούς.
ΚΟ. Οὐ βούλομαί σε πόλεμον Ἀργείοις ἔχειν.
ΔΗ. Κἀγὼ τοιοῦτος. τῶνδε δ' οὐ μεθήσομαι.
ΚΟ. Ἄξω γε μέντοι τοὺς ἐμοὺς ἐγὼ λαβών.
ΔΗ. Οὐ τἄρ' ἐς Ἄργος ῥᾳδίως ἄπει πάλιν.
ΚΟ. Πειρώμενος δὴ τοῦτό γ' αὐτίκ' εἴσομαι.
ΔΗ. Κλάων ἄρ' ἄψει τῶνδε, κοὐκ ἐς ἀμβολάς.
ΧΟ. Μὴ, πρὸς θεῶν, κήρυκα τολμήσῃς θενεῖν.
ΔΗ. Εἰ μή γ' ὁ κήρυξ σωφρονεῖν μαθήσεται.
ΧΟ. Ἄπελθε. καὶ σὺ τοῦδε μὴ θίγῃς, ἄναξ.
ΚΟ. Στείχω. μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη.

252. πρὸς τοῖσδ' ἔτ' εἴ τι τοῖσίγ'
254. ἦ τι καὶ
255. βίᾳ;
256. οὔκουν——ἀλλὰ σὺ βλάβος.
259. πλεῖον φρονῶν.
263. οὐκοῦν ἐγὼ τῶνδ' ἐνθάδ' εἰμὶ κύριος.
264. βλάπτων ἐκείνους μηδὲν, ἂν σὺ σωφρονῇς.
625. θεούς;
269. οὐκ ἄρ'——πάλιν;
271. κλαίων ἄρ' ἅψῃ
272. τολμήσεις θένειν.
273. κῆρυξ Sic etiam vv. 648. 655.